ζητεῖν, δυνατόν ὁμοιοτρόπως, δηλονότι εἰ μέν ἐμπέσοις εἰς ἀπο=
ρίαν τινά γραμμάτων, ἤτοι στοιχείων, παραχρῆμα προσ=
δραμε εἰς τήν διαίρεσιν τήν ἐν ἀρχῇ τῶν γραμμάτων, κακεῖ
εὑρήσεις τὰ πάντα ἀνεωγμένα, περὶ φωνηέντων, περὶ
διφθόγγων, συμφώνων, καὶ τῶν λοιπῶν. Εἰ δέ τι δια=
πορήσειας περὶ ἄρθρου, ὡσαύτως πρόσδραμε ὅπου τὸ
ἄρθρον, κακεῖ εὑρήσεις τὸ ποθούμενον. Εἰ δε τι σοι
συναπαντήσῃ τῶν ὀνομάτων ἀπόρως, ἤτοι περὶ
γένους, ἢ πτώσεως, ἢ καταλήξεως, ἢ ἄλλων τοιούτων,
πρόσδραμε εἰς τὸ περὶ ὀνόματος κακεῖ ὅ, τι ἂν ζητήσῃς
παραχρῆμα εὑρήσεις. ἐν μὲν τῇ αῃ κλίσει τῶν ἰσο=
συλλάβων πάντα ὅσ' αὐτῇ συμβαίνει, ἐκεῖ εὑρήσεις
ἐν σημειώσεσι, καὶ ὑπεξαιρέσεσιν. ὡσαύτως ἐν τῇ βῃ:
καὶ ἐν ταῖς λοιπαῖς. εἰ δ' ἄν τι ἀπορήσῃς περὶ τῆς εῃς
τῶν περιττοσυλλάβων, γίνωσκε, ὅτι αὕτη ἡ κλίσις
ἔχει ἐννέα καταλήξεις, τέσσαρα φωνήεντα μόνον,
δηλονότι ν, ξ, ρ, σ, ψ. καὶ πλὴν τούτων οὐκ εὑ=
ρήσεις ἄλλα εἰς ἅπερ ἂν λήξειαν ἑλληνικὰ ὀνόματα.
Τὸ δὲ Ἀδάμ, Ἰακώβ, Ἰωσήφ, Δανιήλ, καὶ τὰ τοιαῦτα
ἑβραϊκά εἰσι. πρὸς τούτοις γίνωσκε, ὅτι τὸ α,
τῆς λήξεως ταύτης τῆς εῃς κλίσεως σεσημείωται
αῳ ἔξω τῆς σελίδος ἐν τῷ ἀριστερῷ πλευρῷ, μετὰ
τῶν παραδειγμάτων αὐτοῦ. εἶτα τὸ ι, καὶ τὰ λοιπά
δύο φωνήεντα υ, καὶ ω μέγα ὡσαύτως μόνα χωρὶς
συμφώνων, καὶ πάντα κεῖνται ἐν τῷ ἀριστερῷ πλευρῷ
ἔξω τῆς σελίδος. μετὰ δε ταῦτα ἕπεται τὸ α τὸ
αου τῶν εἰρημένων φωνηέντων μετὰ τοῦ ν, τοῦ αου τῶν
εἰρημένων πέντε συμφώνων. εἶτα ὅσα φωνήεντα ἄλλα
ἔνεστιν εὑρεθῆναι μετὰ τοῦ ν, ἐν τοῖς ὀνόμασι τῆς
εης τῶν περιττοσυλλάβων αὐτόθι ἐγράφησαν κατὰ τάξιν

ἔξω